24.

# ΠΕΡΙ ΤΟΥ ΕΙ ΤΟΥ ΕΝ ΔΕΛΦΟΙΣ

(Plan. 68)

**1.** *Στιχιδίοις τισὶν οὐ φαύλως ἔχουσιν, ὦ φίλε Σαρα-* D *πίων, ἐνέτυχον πρῴην, ἃ Δικαίαρχος* (fr. 40 M.) *Εὐριπίδην οἴεται πρὸς Ἀρχέλαον εἰπεῖν* (fr. 969)·

*‘οὐ βούλομαι πλουτοῦντι δωρεῖσθαι πένης,*
*μή μ’ ἄφρονα κρίνῃς ἢ διδοὺς αἰτεῖν δοκῶ.’*

*χαρίζεται μὲν γὰρ οὐδὲν ὁ διδοὺς ἀπ’ ὀλίγων μικρὰ τοῖς πολλὰ κεκτημένοις, ἀπιστούμενος δ’ ἀντὶ μηδενὸς διδόναι κακοηθείας καὶ ἀνελευθερίας προσλαμβάνει δόξαν. ὅρα δ’ ὅσον ἐλευθεριότητι καὶ κάλλει τὰ χρηματικὰ δῶρα λείπε-* E *ται τῶν ἀπὸ λόγου καὶ σοφίας, ⟨ἃ⟩ καὶ διδόναι καλόν ἐστι καὶ διδόντας ἀνταιτεῖν ὅμοια παρὰ τῶν λαμβανόντων. ἐγὼ γοῦν πρὸς σὲ καὶ διὰ σοῦ τοῖς αὐτόθι φίλοις τῶν Πυθικῶν λόγων ἐνίους ὥσπερ ἀπαρχὰς ἀποστέλλων ὁμολογῶ προσδοκᾶν ἑτέρους καὶ πλείονας καὶ βελτίονας παρ’ ὑμῶν, ἅτε*